(Δα.) εἰ μὴ πέτρινος εἶ. τὴν μὲν εὐθὺς ἄϲμενος
δώϲει παρόντων μαρτύρων τριϲχιλίων
τῶι πρῶτον αἰτήϲαντι, τὴν δὲ λήψεται—
(Χα.) οἰμώξετ' ἆρα τῶι δοκεῖν.
(Δα.) τήν τ' οἰκίαν
πᾶϲαν διοικήϲει, περίειϲι κλειδία
ἔχων, ἐπιβάλλων ταῖϲ θύραιϲ ϲημεῖ', ὄναρ
πλουτῶν.
⟨Χα.⟩ τὸ δ' εἴδωλον τί τοὐμόν;
⟨Δα.⟩ κείϲεται,
ἡμεῖϲ τε πάντεϲ ἐν κύκλω καθεδούμεθα,
τηροῦν]τ̣ε̣ϲ̣ αὐτὸν μ̣ὴ̣ προϲέλθηι· πολλ[α

(desunt uersus ii vel iii)

]ν τοὺϲ φί[λουϲ
]υ πεῖραν ἔϲται τ̣ι̣ν̣[
]πωϲ ἦλθεν ἐπὶ τὴν οἰκίαν
]τ̣ιϲ γέγον' ὀφείλων· εἴ τινι
]διπλάϲιον εἰϲπράττει πάνυ
]ιν ὃ λέγειϲ, Δᾶε, τοῦ τ' ἐμοῦ τρόπου.
⟨Δα.⟩ τιμωρί]α̣ν δὲ τοῦ πονηροῦ τίν' ἂν ἔχοιϲ
] ϲφοδροτέραν;
(Χα.) λήψομαι, νὴ τὸν Δία,
ὧν] μ̣' ὠδύνηκε πώποτ' ἀξίαν δίκην·
τὸ γὰρ λεγόμενον ταῖϲ ἀληθείαιϲ "λύκοϲ
χανὼν ἄπειϲι διὰ κενῆϲ".
(Δα.) πράττειν ⟨δὲ⟩ δεῖ
ἤδη. ξενικόν τιν' οἶϲθ' ἰατρόν, Χαιρέα,
ἀϲτεῖον, ὑπαλαζόνα;
(Χαι.) μὰ τὸν Δί' οὐ πάνυ.